eul_wid: duw-ab

*Φρύνιχος ὁ κωμῳδιοποιός Ἀθηναῖος* · Phrynichus the Comic Poet of Athens

# Fragments on Misanthropy and Satire

*Ἀποσπάσματα περὶ Μισανθρωπίας καὶ Σάτυρας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἔστιν δ’ αὐτούς γε
book 1.2 φυλάττεσθαι τῶν νῦν
book 1.3 χαλεπώτατον[ln_1]ἔργον. ἔχουσι γάρ
book 1.4 τι κέντρον ἐν
book 1.5 τοῖς δακτύλοις, μισάνθρωπον ἄνθος ἥβης· εἶθ’ ἡδυλογοῦσιν ἅπασιν ἀεὶ κατὰ τὴν ἀγορὰν
book 1.6 περιόντες.[ln_5]ἐπὶ τοῖς δὲ βάθροις ὅταν ὦσιν, ἐκεῖ τούτοις, οἷς ἡδυλο-[ln_5]γοῦσιν, μεγάλας ἀμυχὰς καταμύξαντες καὶ συγκύψαντες ἅπαντες γελῶσιν.
book 2.1 Ὄνομα δέ τῳ τοῦτ’ ἦν ἔσωθεν γῆν
book 2.2 τε μὴ ἔστω
book 2.3 φιάλτης ἀνθραγαθίας οὕνεκα, ἔτι ἐπιαλὰς
book 2.4 χρηστὰ λε ἀπωλόμην.
book 3.1 Οὐ τουτονὶ μέντοι σὺ κιθαρίζειν
book 3.2 ποτέ αὐλεῖν τ’ ἐδίδαξας;
book 1.1 Ἁνὴρ
book 1.2 χορεύει καὶ τὰ τοῦ θεοῦ καλά βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα;
book 2 Κείνη μεμνήσθω με ξύλον ὑποτεταγός.
book 5.1 Ἄγαμαι, Διονῦ, σοῦ στόματος, ὡς
book 5.2 σεσέλλισαι κεκομμένα
book 5.3 πολλάκις.
book 1.1 Εἶτα κεραμεύων ἂν οἴκοι
book 1.2 σωφρόνως
book 1.3 Χαιρέστρατος ἑκατὸν ἂν τῆς ἡμέρας ἔκαεν οἴνου κανθάρους.
book 2.1 Ἐγὼ δὲ νῷν δὴ τερετιῶ τι
book 2.2 πτιστικόν.
book 1

Ὄνομα δέ μοὔστι Μονότροπος * * * * * * * * ζῶ δὲ Τίμωνος βίον, ἄγαμον, ἄδουλον, ὀξύθυμον, ἀπρόσοδον, ἀγέλαστον, ἀδιάλεκτον, ἰδιογνώμονα.

book 2.1 [spk_β]Μεγάλους

book 2.2 πιθήκους οἶδ᾽ ἑτέρους

book 2.3 τινὰς λέγειν, Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην. Β. ἀνωμάλους εἶπας

book 2.4 πιθήκους * * ὁ μέν γε δειλός, ὁ δὲ κόλαξ, ὁ δὲ νόθος.

book 3.1 [spk_α]Α. Τίς δ᾽ ἔστιν ὁ μετὰ ταῦτα

book 3.2 φροντίζων; Β. Μέτων, ὁ Λευκονοιεύς. Α. οἶδ᾽, ὁ τὰς κρήνας ἄγων.

book 4.1 Ἀλλ᾽ ὑπερβέβληκε

book 4.2 πολὺ τὸν Νικίαν

book 4.3 στρατηγίας

book 4.4 πλήθει

book 4.5 τε κἀξευρήμασιν.

book 5 Ὁ δ᾽ ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

book 6 Ἔπειτ᾽ ἐπειδὰν τὸν λύχνον κατακοιμίσῃ.

book 13 Τηλικουτοσὶ γέρων ἄπαις ἀγύναικος.

book 1.1 Μάκαρ

book 1.2 Σοφοκλέης, ὃς

book 1.3 πολὺν

book 1.4 χρόνον βιούς ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός, πολλὰς

book 1.5 ποιήσας καὶ καλὰς

book 1.6 τραγῳδίας· καλῶς δ᾽ ἐτελεύτης᾽, οὐδὲν ὑπομείνας κακόν.

book 2 Ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι ὁ μὲν ἀπολύων οὗτος, ὁ δ᾽ ἀπολλὺς ὁδί.

book 3 Ὦ καὶ κάπραινα καὶ περίπολις καὶ δρομάς.

book 4.1 Κἂν ὀξυβάφῳ χρῆσθαι

book 4.2 τρεῖς

book 4.3 χοίνικας ἢ δύ᾽ ἀλεύρων.

book 1.1 Μάστιγα δ᾽ ἐν

book 1.2 χεροῖν ἔχων

book 1.3 τευτάζεται

book 2 Ἐβουλόμην ἂν ἧμιν ὥσπερ καὶ προτοῦ.

book 1.1 Αὐτοπυρίταισί τ᾽ ἄρτοις καὶ λιπῶσι

book 1.2 στεμφύλοις.

book 5 Ὥσπερ ἐμὸν αὐτῆς ἴδιον.

book 2 Κερκυραῖαι δ᾽ οὐδὲν * * * ἐπιβάλλουσιν μάστιγες.

book 4 Βοάσομαι τἄρα τὰν ὑπέρτονον βοάν.

book 1.1 Ἡδὺ δ᾽ ἀποτηγανίζειν ἄνευ

book 1.2 συμβολῶν.

book 2 Ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι.

book 3.1 Τὸν Κλεόμβροτόν

book 3.2 τε τοῦ Πέρδικος υἱόν.

book 4 Περιστέριον δ’ αὐτῷ τι λαβὲ τριωβόλου.

book 5 Σὺ δὲ τιμιοπώλης ὡς Ἀχιλλεὺς οὐδὲ εἷς.

book 6.1 Αἰτίαν ἔχει

book 6.2 πονηρὸς εἶναι τὴν τέχνην.

book 1.1 Λάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν, ἄνθρωπος ὢν ὑδατοπότας, μινυρὸς ὑπερσοφιστής, Μουσῶν

book 1.2 σκελετός, ἀηδόνων ἠπίαλος, ὕμνος Ἅιδου.

book 2.1 [spk_ἐρ]Ὦ φίλταθ’ Ἑρμῆ, καὶ φυλάττου, μὴ πεσὼν

book 2.2 σαυτὸν

book 2.3 παρακρούσῃ, καὶ παράσχῃς διαβολὴν ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν

book 2.4 τι δρᾶν. ἙΡ. φυλάξομαι. Τεύκρῳ γὰρ οὐχὶ βούλομαι[ln_5]μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

book 3.1 Ἦν γὰρ

book 3.2 πολίτης ἀγαθός, ὡς εὖ οἶδ’ ἐγώ, κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

book 4 Τοὺς δὲ γομφίους ἅπαντας ἐξέκοψεν, ὥστ’ οὐκ ἂν δυναίμην Ναξίαν ἀμυγδάλην κατᾶξαι.

book 5 Ἑπτάκλινος οἶκος ἦν καλός, εἶτ’ ἐννεάκλινος ἕτερος οἶκος.

book 6 Ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον.

book 7.1 Ἢ μαζίου

book 7.2 τι μικρὸν ἢ κολοκυντίου.

book 8 Ἦσαν δὲ καὶ γυναῖκες ἀφήλικες.

book 9 Ἔμει καταμηλῶν· φλέγματος γὰρ εἶ πλέως.

book 10 Ὦ φίλτατ’ ἀνδρῶν, μή μ’ ἀτιμάσας γένῃ.

book 11 Τριωβόλων ὅσων ὕπερ ἡλιάζομαι.

book 12 Πολὺς δὲ συβαριασμὸς αὐλητῶν τότ’ ἦν.

book 13 Οὐ γλύξις οὐδ’ ὑπόχυτος, ἀλλὰ Πράμνιος.

book 14.1 Ἃ δ’ ἀνάγκα ’σθ’ ἱερεῦσιν καθαρεύειν

book 14.2 φράσομεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org